ἄρχοντες ὑμῶν καὶ ὁ λαὸς τῆς γῆς, ἐμνήσθη κύριος, καὶ ἀνέβη
ἐπὶ τὴν καρδίαν αὐτοῦ; [22]καὶ οὐκ ἠδύνατο κύριος ἔτι φέρειν ἀπὸ 22
προσώπου πονηρίας πραγμάτων ὑμῶν ἀπὸ τῶν βδελυγμάτων, ὧν
ἐποιήσατε· καὶ ἐγενήθη ἡ γῆ ὑμῶν εἰς ἐρήμωσιν καὶ εἰς ἄβατον
καὶ εἰς ἀρὰν ὡς ἐν τῇ ἡμέρᾳ ταύτῃ [23]ἀπὸ προσώπου ὧν ἐθυμιᾶτε 23
καὶ ὧν ἡμάρτετε τῷ κυρίῳ καὶ οὐκ ἠκούσατε τῆς φωνῆς κυρίου
καὶ ἐν τοῖς προστάγμασιν αὐτοῦ καὶ ἐν τῷ νόμῳ αὐτοῦ καὶ ἐν
τοῖς μαρτυρίοις αὐτοῦ οὐκ ἐπορεύθητε, καὶ ἐπελάβετο ὑμῶν τὰ κα-
κὰ ταῦτα. [24]καὶ εἶπεν Ιερεμιας τῷ λαῷ καὶ ταῖς γυναιξίν Ἀκούσατε 24
τὸν λόγον κυρίου· [25]οὕτως εἶπεν κύριος ὁ θεὸς Ισραηλ Ὑμεῖς γυ- 25
ναῖκες τῷ στόματι ὑμῶν ἐλαλήσατε καὶ ταῖς χερσὶν ὑμῶν ἐπληρώ-
σατε λέγουσαι Ποιοῦσαι ποιήσομεν τὰς ὁμολογίας ἡμῶν, ἃς ὡμο-
λογήσαμεν, θυμιᾶν τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ καὶ σπένδειν αὐτῇ
σπονδάς· ἐμμείνασαι ἐνεμείνατε ταῖς ὁμολογίαις ὑμῶν καὶ ποιοῦ-
σαι ἐποιήσατε. [26]διὰ τοῦτο ἀκούσατε λόγον κυρίου, πᾶς Ιουδα οἱ 26
καθήμενοι ἐν γῇ Αἰγύπτῳ Ἰδοὺ ὤμοσα τῷ ὀνόματί μου τῷ μεγά-
λῳ, εἶπεν κύριος, ἐὰν γένηται ἔτι ὄνομά μου ἐν τῷ στόματι παν-
τὸς Ιουδα εἰπεῖν Ζῇ κύριος κύριος, ἐπὶ πάσῃ γῇ Αἰγύπτῳ. [27]ὅτι 27
ἰδοὺ ἐγὼ ἐγρήγορα ἐπ᾽ αὐτοὺς τοῦ κακῶσαι αὐτοὺς καὶ οὐκ ἀγα-
θῶσαι, καὶ ἐκλείψουσιν πᾶς Ιουδα οἱ κατοικοῦντες ἐν γῇ Αἰγύπτῳ
ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ, ἕως ἂν ἐκλίπωσιν. [28]καὶ οἱ σεσῳσμένοι 28
ἀπὸ ῥομφαίας ἐπιστρέψουσιν εἰς γῆν Ιουδα ὀλίγοι ἀριθμῷ, καὶ
γνώσονται οἱ κατάλοιποι Ιουδα οἱ καταστάντες ἐν γῇ Αἰγύπτῳ
κατοικῆσαι ἐκεῖ, λόγος τίνος ἐμμενεῖ. [29]καὶ τοῦτο ὑμῖν τὸ σημεῖον 29
ὅτι ἐπισκέψομαι ἐγὼ ἐφ᾽ ὑμᾶς εἰς πονηρά· [30]οὕτως εἶπεν κύριος 30
Ἰδοὺ ἐγὼ δίδωμι τὸν Ουαφρη βασιλέα Αἰγύπτου εἰς χεῖρας ἐχθροῦ
αὐτοῦ καὶ εἰς χεῖρας ζητούντων τὴν ψυχὴν αὐτοῦ, καθὰ ἔδωκα
τὸν Σεδεκιαν βασιλέα Ιουδα εἰς χεῖρας Ναβουχοδονοσορ βασιλέως
Βαβυλῶνος ἐχθροῦ αὐτοῦ καὶ ζητοῦντος τὴν ψυχὴν αὐτοῦ.
[31]Ὁ λόγος, ὃν ἐλάλησεν Ιερεμιας ὁ προφήτης πρὸς Βαρουχ υἱὸν 31
Νηριου, ὅτε ἔγραφεν τοὺς λόγους τούτους ἐν τῷ βιβλίῳ ἀπὸ στό-
ματος Ιερεμιου ἐν τῷ ἐνιαυτῷ τῷ τετάρτῳ τῷ Ιωακιμ υἱῷ Ιωσια
βασιλέως Ιουδα [32]Οὕτως εἶπεν κύριος ἐπὶ σοί, Βαρουχ [33]Ὅτι εἶ- 32 33

21 την > Sc || 22 απο $2^0$ SApau.] pr. και rel. || 23 εθυμιασατε S | αυτου $2^0$ > B || 24 τον > SA || 25 γυναικες] pr. αι S(†) | ποιουσαι $1^0$ > S*† | ποιησωμεν SA | ωμολογηκαμεν B† | βασ. του ουρ.] βααλ S*† || 26 ειπεν] λεγει A† | ιουδα ειπειν > A*† | κυριος ult. > B | γη αιγυπτω ult.] τη(>Sc) γη -πτου S: cf. 1 || 27 ιδου > BSpau. | αγαθωσαι] -θυναι A | γη αιγυπτου SA: cf. 1 | εως αν] εαν B*† || 28 αριθμοι A† | οι ult.] pr. και A† | καταστάντες B†] καταβαντες V†, καταβαινοντες A†, εισελθοντες unus cod., παροικουντες rel. | γη αιγυπτου SA: cf. 1 | κατοικησαι] παροικ. SA || 31 εγραψεν ASc | τω $1^0$ > S | τω ult. > B* || 33 οτι $1^0$ > *L*